## XXX [149B., 11D.]

*γνῶθι Θεόγνητον προσιδὼν τὸν Ὀλυμπιονίκαν*
*παῖδα, παλαισμοσύνης δεξιὸν ἡνίοχον,*
*κάλλιστον μὲν ἰδεῖν, ἀθλεῖν δ' οὐ χείρονα μορφῆς,*
*ὃς πατέρων ἀγαθῶν ἐστεφάνωσε πόλιν.*

## XXXI [154B., 149D.]

*— εἶπον τίς, τίνος ἐσσί, τίνος πατρίδος, τί δ' ἐνίκης.*
*— Κασμύλος, Εὐαγόρου, Πύθια πύξ, Ῥόδιος.*

## XXXII [161B., 154$^{A}$D.]

*Ἰφίων τόδ' ἔγραψε Κορίνθιος· οὐκ ἔνι μῶμος*
*χερσίν, ἐπεὶ δόξας ἔργα πολὺ προφέρει.*

## XXXIII [162B., 163D.]

*Κίμων ἔγραψε τὴν θύραν τὴν δεξιάν,*
*τὴν δ' ἐξιόντων δεξιὰν Διονύσιος.*